*πον ἡ δόξα ποιεῖ τοῦ βλασφημοῦντος; καὶ γὰρ ἡμεῖς τὴν βλασφημίαν ὅτι δυσμενείας σημεῖόν ἐστι προβαλλόμεθα, καὶ τοὺς κακῶς ἡμᾶς λέγοντας ἐχθροὺς νομίζομεν ὡς καὶ κακῶς φρονοῦντας. ὁρᾷς δ' οἷα περὶ τῶν θεῶν οἱ δεισιδαίμονες φρονοῦσιν, ἐμπλήκτους ἀπίστους εὐμεταβόλους τιμωρητικοὺς ὠμοὺς μικρολύπους ὑπολαμβάνοντες, ἐξ ὧν ἀνάγκη καὶ μι-*
E *σεῖν τὸν δεισιδαίμονα καὶ φοβεῖσθαι τοὺς θεούς. πῶς γὰρ οὐ μέλλει, τὰ μέγιστα τῶν κακῶν αὐτῷ δι' ἐκείνους οἰόμενος γεγονέναι καὶ πάλιν γενήσεσθαι; μισῶν δὲ θεοὺς καὶ φοβούμενος ἐχθρός ἐστι. εἰ δὲ καὶ προσκυνεῖ καὶ θύει καὶ κάθηται πρὸς ἱεροῖς, οὐ θαυμαστόν ἐστι· καὶ γὰρ τοὺς τυράννους ἀσπάζονται περιέπουσι χρυσοῦς ἀνιστᾶσιν, ἀλλὰ μισοῦσι σιγῇ ʽκάρα σείοντεςʼ* (Soph. Ant. 291). *Ἀλέξανδρον Ἑρμόλαος ἐθεράπευε, Παυσανίας ἐδορυφόρει Φίλιππον, Χαιρέας Γάιον, ἀλλ' ἕκαστος τούτων ἔλεγε παρακολουθῶν* (*X* 20)

F *ʽἦ σ' ἂν τισαίμην, εἴ μοι δύναμίς γε παρείηʼ.*

*οὐκ οἴεται θεοὺς εἶναι ὁ ἄθεος, ὁ δὲ δεισιδαίμων οὐ βούλεται, πιστεύει δ' ἄκων· φοβεῖται γὰρ ἀπιστεῖν. εἰ δ' ὥσπερ ὁ Τάνταλος ὑπεκδῦναι ⟨δύναιτο⟩ τὸν λίθον ὑπαιωρούμενος τῷ φόβῳ καὶ πιεζόμενος, ἀγαπήσειεν ἂν καὶ μακαρίσειε τὴν τοῦ ἀθέου διάθεσιν ὡς ἐλευθερίαν. νυνὶ δὲ τῷ μὲν ἀθέῳ δεισιδαιμονίας*